# TEZAUR LITURGIC

## 27 SEPTEMBRIE

## GHERASIM MIKRAGHIANANITUL

# SLUJBA SF.MUCENIȚE ACHILINA DE LA TESALONIC

ATENA,2010

www.tezaurliturgic.ro



# 27 ΣΕΠΤΕΜΒΡΙΟΣ
# ΑΚΥΛΙΝΑ ΝΕΟΜΑΡΤΥΣ ΖΑΓΚΛΙΒΕΡΙΟΥ
# ΑΚΟΛΟΥΘΙΑ

**Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου**

## ΕΣΠΕΡΙΝΟΣ

*Μετά τον Προοιμιακόν, το Μακάριος ανήρ. Εις δε το Κύριε εκέκραξα, ιστώμεν στίχους στ’, και ψάλλομεν τα εξής Προσόμοια. Ήχος δ’. Ως γενναίον εν Μάρτυσι.*

Ως νομίμως αθλήσασα, εν υστέροις τοις έτεσι, τω Χριστώ νενύμφευσαι καλλιπάρθενε, και φοινιχθείσα τοις αίμασιν, Αυτώ προσενήνεξαι, ώσπερ θύμα λογικόν, και θυσία ευπρόσδεκτος, και συμμέτοχος, των Μαρτύρων της δόξης Ακυλίνα, ως σεμνή Παρθενομάρτυς, περιφανώς αναδέδειξαι.

Της μητρός την ευσέβειαν, θησαυρόν ως ουράνιον, τη ψυχή σου φέρουσα θεία χάριτι, της πατρικής ου κατέπτηξας, ανδρείω φρονήματι, ασεβείας την φοράν, του Χριστού δούλη πέφυκα, ανακράζουσα, και Αυτού τετρωμένη τη αγάπη, Ακυλίνα νεομάρτυς, αθλητικώς ηνδραγάθησας.

Ου νεότης του σώματος, ου το χαύνον του θήλεος, της Χριστού αγάπης σε διεχώρισαν, αλλ’ απτοήτως υπέμεινας, μαστίγων την έφοδον, και τυράννων απειλάς, της καρδίας τοις όμμασιν, ατενίζουσα, προς

Χριστόν τον Σωτήρα Ακυλίνα, Ου εις χείρας εναπέθου, το καθαρώτατον πνεύμα σου.

Τι πεποίηκας θύγατερ; η θεόληπτος μήτηρ σου, μετά πολυώδυνον Μάρτυς βάσανον, απολαβούσά σε έκραζεν· ω μήτερ εβόησας, πειθαρχήσασα πιστώς, τοις αγίοις σου ρήμασιν, ωμολόγησα, τον Χριστόν εναντίον των απίστων, Ου πορεύομαι τη δόξη, καλώς τον δρόμον τελέσασα.

Εις οσμήν μύρων έδραμες, γραφικώς του νυμφίου σου, μαρτυρίου στάδιον διανύσασα, το δε πολύαθλον σώμα σου, ως θείον αλάβαστρον, ευωδίαν θαυμαστήν, ενεργεία του Πνεύματος, πάσιν έπνευσεν, απαγόμενον Μάρτυς εις κηδείαν, και φως θείον τω σω τάφω, την σην εδήλου λαμπρότητα.

Ζαγκλιβέριον γάνυται, η βλαστήσασα κώμη σε, ώσπερ άνθος εύοσμον και αμάραντον, και την αγίαν σου άθλησιν, γεραίρει κραυγάζον σοι· συ μου δόξα και χαρά, και μεσίτις προς Κύριον, και αντίληψις, Ακυλίνα σεμνή Παρθενομάρτυς, και τη ση προστρέχον σκέπη, εκ πάσης ρύομαι θλίψεως.

*Δόξα. Ήχος πλ. β'.*

Σήμερον ως έαρ νοητόν, εν μεταπώρω εξέλαμψεν, η της Νεομάρτυρος Ακυλίνης μνήμη, τους ευσεβείς ευφραίνουσα, ως γαρ άνθος πεδίου, εν μέσω γενεάς σκολιάς ανθήσασα, αθλητική χάριτι ημάς προτρέπεται βοήσαι· χαίροις η εν απαλώ σώματι, τον αρχαίον πτερνιστήν καταβαλούσα, εν τη δυνάμει της πίστεως· χαίροις Παρθενομάρτυς ένδοξε, λαμπάς η

νεόφωτος, της του Χριστού Εκκλησίας· χαίροις της ενεγκομένης σε κώμης, εύχος ιερόν, και προστάτις και έφορος και θείον καταφύγιον. Χριστώ τω σω Νυμφίω πρέσβευε, σώζεσθαι εκ πάσης ανάγκης, τους τελούντας την μνήμην σου.

*Και νυν. Θεοτοκίον.*

Τις μη μακαρίσει σε, Παναγία Παρθένε; τις μη ανυμνήσει σου τον αλόχευτον τόκον; ο γαρ αχρόνως εκ Πατρός εκλάμψας Υιός μονογενής, ο αυτός εκ σου της Αγνής προήλθεν, αφράστως σαρκωθείς, φύσει Θεός υπάρχων, και φύσει γενόμενος άνθρωπος δι' ημάς, ουκ εις δυάδα προσώπων τεμνόμενος, αλλ' εν δυάδι φύσεων, ασυγχύτως γνωριζόμενος. Αυτόν ικέτευε, σεμνή Παμμακάριστε, ελεηθήναι τας ψυχάς ημών.

*Είσοδος, Φως ιλαρόν, το Προκείμενον της ημέρας, και τα Αναγνώσματα.*

*Παροιμιών το ανάγνωσμα (31,10-20)*

Γυναίκα ανδρείαν τις ευρήσει; τιμιωτέρα δε εστι λίθων πολυτελών η τοιαύτη, θαρσεί επ' αυτή η καρδία του ανδρός αυτής, η τοιαύτη καλών σκύλων ουκ απορήσει· ενεργεί γαρ τω ανδρί εις αγαθά πάντα τον βίον. Μηρυομένη έρια και λίνον, εποίησεν εύχρηστα ταις χερσίν αυτής. Εγένετο ωσεί ναυς εμπορευομένη μακρόθεν, συνάγει δε αυτής τον πλούτον, και ανίσταται εκ νυκτών και έδωκε

βρώματα τω οίκω και έργα ταις θεραπαίναις· θεωρήσασα γεώργιον επρίατο, από δε των καρπών των χειρών αυτής κατεφύτευσε κτήμα. Αναζωσαμένη ισχυρώς την οσφύν αυτής, ήρεισε τους βραχίονας αυτής εις έργον. Εγεύσατο, ότι καλόν εστι το εργάζεσθαι, και ουκ αποσβέννυται ο λύχνος αυτής όλην την νύκτα. Τους πήχεις αυτής εκτείνει επί τα συμφέροντα, τας δε χείρας αυτής ερείδει εις άτρακτον. Χείρας αυτής διήνοιξε πένητι, καρπόν δε εξέτεινε πτωχώ, ου φροντίζει των εν οίκω ο ανήρ αυτής, όταν που χρονίζη· πάντες γαρ οι παρ' αυτή ενδεδυμένοι εισί. Διττάς χλαίνας εποίησε τω ανδρί αυτής, εκ δε βύσσου και πορφύρας εαυτή ενδύματα, περίβλεπτος δε γίνεται ο ανήρ αυτής εν πύλαις, ηνίκα αν καθίση εν συνεδρίω μετά των πρεσβυτέρων και κατοίκων της γης. Σινδόνας εποίησε, και απέδοτο τοις Φοίνιξι και περιζώματα τοις Χαναναίοις. Ισχύν και ευπρέπειαν ενεδύσατο, και ευφράνθη εν ημέραις εσχάταις.

*Σοφίας Σολομώντος το Ανάγνωσμα.(Κεφ. ζ' 7)*

Δίκαιος, εάν φθάση τελευτήσαι, εν αναπαύσει έσται. Γήρας γαρ τίμιον ου το πολυχρόνιον, ουδέ αριθμώ ετών μεμέτρηται. Πολιά δε εστι φρόνησις ανθρώποις, και ηλικία γήρως, βίος ακηλίδωτος. Ευάρεστος Θεώ γενόμενος, ηγαπήθη· και ζων μεταξύ αμαρτωλών, μετετέθη. Ηρπάγη, μη κακία αλλάξη σύνεσιν αυτού, η δόλος απατήση ψυχήν αυτού· βασκανία γαρ

φαυλότητος αμαυροί τα καλά, και ρεμβασμός επιθυμίας μεταλλεύει νουν άκακον. Τελειωθείς εν ολίγω, επλήρωσε χρόνους μακρούς· αρεστή γαρ ην Κυρίω η ψυχή αυτού· δια τούτο έσπευσεν εκ μέσου πονηρίας. Οι δε λαοί ιδόντες και μη νοήσαντες, μηδέ θέντες επί διανοία το τοιούτον, ότι χάρις και έλεος εν τοις οσίοις αυτού, και επισκοπή εν τοις εκλεκτοίς αυτού.

*Σοφίας Σολομώντος το Ανάγνωσμα.(Κεφ. ι' 32)*

Στόμα δικαίου αποστάζει σοφίαν, χείλη δε ανδρών επίστανται χάριτας· Στόμα σοφών μελετά σοφίαν, δικαιοσύνη δε ρύεται αυτούς εκ θανάτου. Τελευτήσαντος ανδρός δικαίου ουκ όλλυται ελπίς· υιός γαρ δίκαιος γεννάται εις ζωήν, και εν αγαθοίς αυτού καρπόν δικαιοσύνης τρυγήσει. Φως δικαίοις διαπαντός, και παρά Κυρίου ευρήσουσι χάριν και δόξαν. Γλώσσα σοφών καλά επίσταται, και εν καρδία αυτών αναπαύσεται σοφία. Αγαπά Κύριος οσίας καρδίας, δεκτοί δε αυτώ πάντες άμωμοι εν οδώ. Σοφία Κυρίου φωτιεί πρόσωπον συνετού· φθάνει γαρ τους επιθυμούντας αυτήν, προ του γνωσθήναι, και ευχερώς θεωρείται υπό των αγαπώντων αυτήν. Ο ορθρίσας προς αυτήν ου κοπιάσει, και ο αγρυπνήσας δι' αυτήν, ταχέως αμέριμνος έσται. Ότι τους αξίους αυτής αυτή περιέρχεται ζητούσα, και εν ταις τρίβοις φαντάζεται αυτοίς ευμενώς. Σοφίας ου κατισχύσει ποτέ κακία. Δια ταύτα και εραστής εγενόμην του

κάλλους αυτής και εφίλησα ταύτην, και εξεζήτησα εκ νεότητός μου, και εζήτησα νύμφην αγαγέσθαι εμαυτώ. Ότι ο πάντων Δεσπότης ηγάπησεν αυτήν. Μύστις γαρ εστι της του Θεού επιστήμης, και αιρέτις των έργων αυτού. Οι πόνοι αυτής εισίν αρεταί· σωφροσύνην δε και φρόνησιν αύτη διδάσκει, δικαιοσύνην και ανδρείαν, ων χρησιμώτερον ουδέν εστιν εν βίω ανθρώποις. Ει και πολυπειρίαν ποθεί τις, οίδε τα αρχαία και τα μέλλοντα εικάζειν, επίσταται στροφάς λόγων, και λύσεις αινιγμάτων, σημεία και τέρατα προγινώσκει, και εκβάσεις καιρών και χρόνων, και πάσι σύμβουλός εστιν αγαθή. Ότι αθανασία εστίν εν αυτή, και εύκλεια εν κοινωνία λόγω αυτής. Δια τούτο ενέτυχον τω Κυρίω, και εδεήθην αυτού, και είπον εξ όλης μου της καρδίας. Θεέ Πατέρων, και Κύριε του ελέους, ο ποιήσας τα πάντα εν λόγω σου, και τη σοφία σου κατασκευάσας τον άνθρωπον, ίνα δεσπόζη των υπό σου γενομένων κτισμάτων, και διέπη τον κόσμον εν οσιότητι και δικαιοσύνη, δος μοι την των σων θρόνων πάρεδρον σοφίαν, και μη με αποδοκιμάσης εκ παίδων σου, ότι εγώ δούλος σος, και υιός της παιδίσκης σου. Εξαπόστειλον αυτήν εξ αγίου κατοικητηρίου σου και από θρόνου δόξης σου, ίνα συμπαρούσά μοι διδάξη με, τι ευάρεστόν εστι παρά σοι. Και οδηγήση με εν γνώσει, και φυλάξη με εν τη δόξη αυτής. Λογισμοί γαρ θνητών πάντες δειλοί και επισφαλείς αι επίνοιαι αυτών.

*Εις την Λιτήν. Ιδιόμελα. Ήχος α'.*

Ευφραίνεται ενθέως η ση πατρίς Ακυλίνα, καυχωμένη τοις σπαργάνοις σου, και τη λαμπρά σου αθλήσει. Θεοπρεπώς γαρ αναχθείσα, μητρικαίς υποθήκαις, άτρωτος διέμεινας, τη του πατρός δυσσεβεία. Και των μαστίγων τας οδύνας, ως αδάμας υποστάσα, των Μαρτύρων το σκάμμα υπήλθες, και λαμπαδηφόρος ανήλθες, ως παρθένος φρονίμη, και Μάρτυς αήττητος, εις νυμφώνα ουράνιον, απαύστως πρεσβεύουσα, υπέρ των τιμώντων σε.

*Ήχος β'.*

Αθλητικήν επιδειξαμένη ένστασιν, τυραννικήν καθείλες ωμότητα, Ακυλίνα καλλιπάρθενε. Συ γαρ ανδρωθείσα την φρένα, πατρικήν εξεμυκτήρισας αθεότητα, τας των εχθρών μη πτοηθείσα απειλάς, και επαγγελιών μη χαυνωθείσα παροχαίς, και το αγνόν σαρκίον σου δαπανηθέν μαστίγων πληγαίς, του εχθρού κατέτρωσε, καιρίως την καρδίαν. Και νυν μαρτυρικώ διαδήματι, κοσμηθείσα παρά Χριστού, ικέτευε δεόμεθα, καλλιμάρτυς ένδοξε, υπέρ των ψυχών ημών.

*Ήχος γ'.*

Μακαρίας μητρός, θεοειδής θυγάτηρ ώφθης, πίστεως δόγμασιν, η γάλακτι τραφείσα, Ακυλίνα σεμνοπάρθενε. Και εν αγίοις άθλοις αριστεύσασα, της εν σοι θείας αγάπης το πυρ, πάσιν εξέφηνας. Διο η τεκούσα σε, ηγλαϊσμένην σε ιδούσα θείοις στίγμασι, και της φωνής σου ακούσασα, βεβαιούσης

τα κρείττονα, εν κρυφία εβόα χαρά· πορεύου ω τέκνον φίλτατον, την προς Χριστόν πορείαν, Ον υπέρ πάντα ηγάπησας, και πρέσβευε απαύστως, σώζεσθαι τους σε μακαρίζοντας.

*Ήχος δ'.*

Την εν Μάρτυσι παρθένον, Ακυλίνα την Νεομάρτυρα, μαρτυρικοίς εγκωμίοις καταστέψωμεν. Το γαρ χαύνον της φύσεως απορρίψασα, προς μαρτυρικούς αγώνας απεδύσατο. Και προς την αμαρτίαν μέχρι αίματος αντικαταστάσα, αθλητικαίς ενστάσεσι, των μεν πάλαι Μαρτύρων, ισότιμος ώφθη, του δε πόθου της Προμήτορος Εύας ηξίωται, τον καρπόν της ζωής τρυγήσασα, ως Χριστού νύμφη άφθορος. Αλλ' ω Παρθενομάρτυς ένδοξε, της αιωνίου ζωής και ημάς αξίωσον, ταις προς Χριστόν πρεσβείαις σου.

*Δόξα. Ο αυτός.*

Μαρτυρικώς αγωνισαμένη, εν υστέροις χρόνοις, και του Χριστού το όνομα δοξάσασα οικείοις άθλοις, της αιωνίου δόξης ηξίωσαι, και του νυμφώνος της χαράς, κληρονόμος ώφθης, Ακυλίνα θεόφρον, όθεν το αθλητικόν σώμα, χαριτωθέν θείω Πνεύματι, ευωδίαν διέπνευσε, την ευσεβών τας καρδίας ευφραίνουσαν. Και φως ουράνιον, τω σω τάφω κατελθόν, των ασεβών τας ψυχάς ημαύρωσε, και πάσιν υπέδειξεν, ην εύρες λαμπρότητα, παρά Χριστού του Θεού, και Σωτήρος των ψυχών ημών.

*Και νυν. Θεοτοκίον.*

Εκ παντοίων κινδύνων τους δούλους Σου φύλαττε ευλογημένη Θεοτόκε, ίνα Σε δοξάζομεν, την ελπίδα των ψυχών ημών.

*Εις τον Στίχον. Ήχος β'. Ότε εκ του ξύλου.*

Ότε, ο σος δείλαιος πατήρ, είλκε σε βιαίως θεόφρον, προς ασεβείας κρημνόν, τότε ακατάπληκτος, έστης και άσειστος, τοις εχθρών μηχανήμασιν, ευτόλμως βοώσα· τον Χριστόν μου σέβομαι, ως Ποιητήν και Θεόν, όθεν, καθελούσα τον όφιν, νίκης το βραβείον εδέξω, Μάρτυς Ακυλίνα καλλιπάρθενε.

Στ.: Υπομενων, υπέμεινα τον Κύριον, και προσέσχε μοι και εισήκουσε της φωνής της δεήσεώς μου.

Ότε, των μαστίγων ταις πληγαίς, άπαν σου το σώμα ετρώθη, εχθρών ωμότητα, τότε Μάρτυς έλεγες, τη ση αγία μητρί· μη πτοού μηδέ στύγναζε, ω μήτερ μου όλως, εγώ γαρ εδόξασα, Χριστού το όνομα, όθεν, νικηφόρος ανήλθες, προς τας ουρανίους παστάδας, και Χριστού οράς την ωραιότητα.

Στ.: Και έστησεν επί πέτραν τους πόδας μου, και κατεύθυνε τα διαβήματά μου.

Χαίροις, Νεομάρτυς του Χριστού, Παρθενομαρτύρων των πάλαι, η ισοστάσιος, Ακυλίνα πάνσεμνε, Ζαγκλιβερίου χαρά, και τερπνότατον βλάστημα, και Μακεδονίας, θείον αγαλλίαμα, και σεμνολόγημα, χαίρε, συμπολίτις Αγγέλων, και των σε υμνούντων προστάτις, και θερμή προς Κύριον μεσίτρια.

*Δόξα. Ήχος πλ. δ'.*

Την μητρικήν ενστερνισαμένη πίστιν, την πατρώαν απώσω απάτην, εν θεολήπτω ψυχή, Ακυλίνα Μάρτυς αήττητε. Και τη άνωθεν ροπή, εν ασθενεία φύσεως, τον ισχυρόν εν κακία, εθριάμβευσας δράκοντα, αθλητικοίς πόνοις ανδραγαθήσασα. Και νυν Μαρτύρων δήμοις, θεουμένη κατά μέθεξιν, αδιαλείπτως ικέτευε, τον σον νυμφίον Χριστόν, ελεηθήναι τας ψυχάς ημών.

*Και νυν. Θεοτοκίον.*

Δέσποινα πρόσδεξαι τας δεήσεις των δούλων Σου, και λύτρωσαι ημάς, από πάσης ανάγκης και θλίψεως.

*Νυν απολύεις. Τρισάγιον.*

*Απολυτίκιον. Ήχος δ'. Ταχύ προκατάλαβε.*

Μητρός σου τοις ρήμασι στοιχειωθείσα πιστώς, πατρός την ασέβειαν απεβδελύξω στερρώς, ενθέω φρονήματι, όθεν και των μαστίγων, ενεγκούσα το άλγος, ήθλησας Ακυλίνα, ως παρθένος φρονίμη, διο Παρθενομάρτυς, τιμώμεν τους άθλους σου.

*Δόξα. Ηχος πλ. α'. Τον συνάναρχον Λόγον.*

Ζαγκλιβέριον χαίρει εν τη αθλήσει σου, η σε βλαστήσασα κώμη ως άνθος εύοσμον, Ακυλίνα του Χριστού καλλιπάρθενε, συ γαρ ενήθλησας στερρώς, και εδέξω εκ Θεού, το στέφος της αφθαρσίας, εκδυσωπούσα απαύστως, ελεηθήναι τας ψυχάς ημών.

*Και νυν. Θεοτοκίον.*

Χαίρε πύλη Κυρίου η αδιόδευτος, χαίρε τείχος και σκέπη των προστρεχόντων εις σε, χαίρε αχείμαστε λιμήν και Απειρόγαμε, η τεκούσα εν σαρκί τον Ποιητήν σου και Θεόν, πρεσβεύουσα μη ελλείπης, υπέρ των ανυμνούντων, και προσκυνούντων τον Τόκον σου.

*Απόλυσις.*

## ΟΡΘΡΟΣ

*Μετά την α' στιχολογίαν,*

*κάθισμα. Ήχος α'. Τον τάφον Σου Σωτήρ.*

Ως Μάρτυς του Χριστού, και σεμνή Αθληφόρος, καθείλες του εχθρού, την οφρύν και το θράσος, ρωσθείσα θείου Πνεύματος, Ακυλίνα τη χάριτι, όθεν στέφανον, της αφθαρσίας εδέξω, ικετεύουσα, υπέρ ημών των τιμώντων, την πάνσεπτον μνήμην σου.

*Δόξα. Και νυν. Θεοτοκίον.*

Ως μόνη εκλεκτή, εξ αιώνος φανείσα, εδόξα εν γαστρί, τον των όλων Δεσπότην, και τούτον Κόρη τέτοκας, Θεόν άμα και άνθρωπον, ου νεάνιδες, κατατρωθείσαι τω πόθω, παναμώμητε, ήθλησαν γνώμη ανδρεία, υμνούσαι την δόξαν Σου.

*Μετά την β’ στιχολογίαν,*
*κάθισμα. Ήχος α’. Χορός Αγγελικός.*

Νεάνις απαλή, το μετέωρον όμμα, του πάλαι πτερνιστού, καταβέβληκεν άρτι, γενναίως αθλήσασα, Ακυλίνα η πάνσεμνος, ω του θαύματος! πως καλλιπάρθενος κόρη, ακατάβλητος, της ευσεβείας τη πέτρα, και άσειστος έμεινας.

*Δόξα. Και νυν. Θεοτοκίον.*

Νυμφών φωτοειδής, και υπέρλαμπρος ώφθης, κυήσασα ημίν, εξ αγνών Σου αιμάτων, Χριστόν τον φορέσαντα, των ανθρώπων το φύραμα, και δοξάσαντα, της Ακυλίνης την μνήμην, θείαις χάρισι, Παρθενομήτορ Μαρία, βροτών η ανάκλησις.

*Μετά τον Πολυέλεον,*
*κάθισμα. Ήχος δ’. Ταχύ προκατάλαβε.*

Ανδρείως υπήνεγκας τας των μαστίγων πληγάς, και πάσας συνέτριψας τας του εχθρού μηχανάς, αθλήσεως σκάμμασιν, όθεν οσμήν αγίαν, το σον πάνσεπτον σώμα, έμπνευσεν Ακυλίνα, θεϊκή χορηγία, και πάσαν δυσωδίαν, της πλάνης διέλυσε.

*Δόξα. Και νυν. Θεοτοκίον.*

Αφράστως κυήσασα τον Βασιλέα Χριστόν, ημάς εκλυτρούμενον των αιωνίων δεσμών, δι’ έλεος άφατον, νέκρωσον Θεοτόκε, ζωτική Σου πρεσβεία, πάσαν την ενοικούσαν, εν εμοί αμαρτίαν, και ίθυνόν με δέομαι, προς ζωήν ενάρετον.

*Το α’ αντίφωνον του δ’ ήχου.*

Προκείμενον: Υπομένων υπέμεινα τον Κύριον και πρόσεσχέ μοι και εισήκουσε της φωνής της δεήσεώς μου.

Στ.: Και έστησεν επί πέτραν τους πόδας μου, και κατεύθυνε τα διαβήματά μου.

*Ευαγγέλιον, των 10 Παρθένων. Ζήτει αυτό τω ΙΖ’ Σαββάτω Ματθαίου.*

*Ο Ν’ ψαλμός.*

Δόξα: Ταις της Αθληφόρου...

Και νυν: Ταις της Θεοτόκου...

*Ιδιόμελον. Ήχος πλ. β’. Στ.: Ελεήμον, ελέησόν με ο Θεός...*

Σήμερον των ευσεβών αι χορείαι, εν αις συνδραμούσαι, την σην μνήμην εορτάζομεν, Ακυλίνα Μάρτυς σεμνή. Συ γαρ εν υστέροις έτεσι, της αληθείας υπεραθλήσασα, την του ψεύδους απάτην ήσχυνας, και τον Χριστόν εδόξασας, οικείοις μέλεσι. Και νυν της δόξης Αυτού, ανακεκαλυμμένως τρυφώσα, πρέσβευε δεόμεθα, ρύεσθαι ημάς, πάσης θλίψεως.

*Είτα οι Κανόνες· της Θεοτόκου και της Αγίας.*

*Ο Κανών της Αγίας, ου η ακροστιχίς: Άκος υπάρχεις ευσεβών Ακυλίνα. Γερασίμου.*

*Ωδή α’. Ήχος δ’. Ανοίξω το στόμα μου.*

Ακτίσι του Πνεύματος, αυγαζομένη θεόνυμφε, συνέσεως αίγλην μοι, δοθήναι πρέσβευε, ίνα μέλψω

σου, τους άθλους Ακυλίνα, δι’ ων εμεγάλυνας, Χριστόν τον Κύριον.

Κοσμίως τον βίον σου, της ευσεβείας τοις ήθεσιν, ανύουσα πάνσεμνε, χοροί μητρός ευσεβούς, ηνδραγάθησας, μαρτυρικοίς αγώσι, διο Ακυλίνα σε, Χριστός εδόξασε.

Ορών της καρδίας σου, τον θησαυρόν τον ακήρατον, συλήσαι επήλθε σοι, ο των δικαίων εχθρός, τη του άφρονος, πατρός σου συνεργία, αλλ’ ήττηται πάνσεμνε, τη ση στερρότητι.

Σκιρτά τη ση χάριτι, και εορτάζει την μνήμην σου, η σε τιθηνήσασα, πατρίς σου πάνσεμνε, ην περίεπε, θεόφρον Ακυλίνα, ταις σαις προς τον Κύριον, θερμαίς δεήσεσι.

*Θεοτοκίον.*

Υψίστου ανάκτορον, περικαλλές Κόρη πέφηνας, ατρέπτως χωρήσασα, Χριστόν τον Κύριον, Ον νεάνιδες, θεόφρονες ποθούσαι, Αυτού ηκολούθησαν, πιστώς τοις ίχνεσι.

*Ωδή γ’. Τους Σους υμνολόγους.*

Πατρώαν μισήσασαν μανίαν, Πατρός ουρανίου ευκλεής, θυγάτηρ εχρημάτισας, τη σταθηρά αθλήσει σου, ω Ακυλίνα πρέσβευε, υπέρ ημών των τιμώντων σε.

Αντέστης ανδρείως τοις ανόμοις, Χριστόν κεκτημένη αρωγόν, Παρθενομάρτυς ένδοξε, και των μαστίγων

έφερες, τους σπαραγμούς ως άσαρκος, εχθρού την πλάνην σπαράττουσα.

Ρήμασιν ενθέοις της μητρός σου, ρωσθείσα τον νουν και την ψυχήν, ανδρείως ωμολόγησας, την κλήσιν την Χριστώνυμον, και των απίστων ήσχυνας, Παρθενομάρτυς την δύναμιν.

*Θεοτοκίον.*

Χριστόν τον των όλων Βασιλέα, τεκούσα εν σώματι Αγνή, του σώματός μου ίασαι, Παρθένε τα συντρίμματα, και κληρονόμον δείξον με, της των δικαίων λαμπρότητος.

*Κάθισμα. Ήχος δ’. Κατεπλάγη Ιωσήφ.*

Κατεβλήθη αληθώς, της ασεβείας η οφρύς, και ησχύνθη εμφανώς, ο ανθρωπόλεθρος εχθρός, τη ση ενστάσει Ακυλίνα θεόληπτε, συ γαρ τον Χριστόν, ομολογήσασα, ήνεγκας στερρώς, πληγάς και μάστιγας, και νικηφόρος φανείσα εν άπασιν, εις ουρανούς ανελήλυθας, και νυν δυσώπει, υπέρ των πίστει, ανευφημούντων τους άθλους σου.

*Δόξα. Και νυν. Θεοτοκίον.*

Τον προάναρχον Θεόν, και συνοχέα του παντός, περιέχεις εν χερσί, καθάπερ νήπιον αγνή, σωματωθέντα εξ αχράντων αιμάτων Σου, τις Σου αληθώς, υμνήσει άχραντε, δόξης της πολλής, πλούτον τον άπειρον; Συ γαρ θρόνος ώφθης περίβλεπτος, και φωταυγές ενδιαίτημα, αλλ’ ω

Παρθένε, σκέπε και σώζε, τους προσιόντας τη σκέπη Σου.

*Ωδή δ’. Την ανεξιχνίαστον.*

Έστης ακατάπληκτος Μάρτυς σεμνή, μέσον των τυράννων κραυγάζουσα· πίστιν την θείαν, ουκ αρνούμαι του Χριστού, δι’ ην και θνήσκω χαίρουσα, ίνα ζωήν ζήσω την άληκτον.

Ίδε την μητέρα σου τέκνον εμόν, και λόγον μοι δος εις παράκλησιν, η σε τεκούσα, ανεβόα μητρικώς, ως είδεν έτι ζώσαν σε, και ζωοποιόν σχούσαν νέκρωσιν.

Σύμμαχον την δύναμιν του Ιησού, μήτερ εν τοις άθλοις πλουτήσασα, της ευσεβείας, ασινή τον θησαυρόν, ως έφης μοι τετήρηκα, Μάρτυς τη μητρί σου εβόησας.

Είλκυσάν σε θύγατερ των του Χριστού, θείων αρωματων απόρροιαι, όθεν πορεύου, προς αιώνιον ζωήν, εβόα Ακυλίνα σοι, η σε μητρικώς τιθηνήσασα.

*Θεοτοκίον.*

Ύψωσας τον έκπτωτον Κόρη Αδάμ, τον Θεόν τον Ύψιστον τέξασα, τον ανυψούντα, ταπεινούς από παθών, και κράτος καταράσσοντα, των υπερηφάνων ως γέγραπται.

*Ωδή ε’. Εξέστη τα σύμπαντα.*

Στολής της του σώματος, της αισθητής γεγύμνωσαι, τη των ραβδισμάτων παρατάσει, και αφθαρσίας περιβολήν θαυμαστήν, την εξυφανθείσαν σοι σεμνή, Πνεύματος τη χάριτι, Ακυλίνα ημφίεσαι.

Εμφρόνως απέπτυσας, ως ουρανόφρων πάνσεμνε, τας προτεινομένας δωρεάς σοι, και επιγείων πάσαν απόλαυσιν, μόνον τον εράσμιον Χριστού, κάλλος αγαπήσασα, και τον πλούτον τον άφθαρτον.

Βαδίσασα ένδοξε, τη καρτερά αθλήσει σου, των πάλαι κατ’ ίχνος Αθλοφόρων, ου κατεπλάγης, των δυσσεβών τον θυμόν, αλλ’ απεριτρέπτω λογισμώ, Ακυλίνα ήνεγκας, των μαστίγων την έφοδον.

*Θεοτοκίον.*

Ως μήτηρ πανάφθορος, Παρθένε παναμώμητε, του εκ Σου τεχθέντος υπέρ λόγον, φθοράς με ρύσαι, επινοιών χαλεπών, και προς αφθαρσίας μετοχήν, την ζωήν μου ίθυνον, δια βίου σεμνότητος.

*Ωδή στ’. Την θείαν ταύτην.*

Νυμφίον Μάρτυς αθάνατον, Χριστόν από ψυχής αγαπήσασα, τούτω μεμνήστευσαι, ώσπερ παρθένος ακήρατος, θεόφρον Ακυλίνα, πόνοις αθλήσεως.

Αγαλλιάται τη δόξη σου, πατρίς σου η τιμία πανθαύμαστε, της σης αθλήσεως, λαμπρώς την μνήμην γεραίρουσα, ην φρούρει Ακυλίνα, εκ πάσης θλίψεως.

Καλώς τον δρόμον τελέσασα, τοις ρείθροις των αιμάτων ηγίασας, χθόνα την πάτριον, ην διασώζεις εκάστοτε, εκ πάσης Ακυλίνα βλάβης του όφεως.

*Θεοτοκίον.*

Ύδωρ το ζων κόσμω έβλυσας, ως κρήνη Θεοτόκε θεόβρυτος, Χριστόν κυήσασα, όθεν διψώντα με πότισον, τοις νάμασιν Παρθένε, της θείας χάριτος.

*Κοντάκιον. Ήχος γ'. Η Παρθένος σήμερον.*

Απαλώ εν σώματι, τον πολυμήχανον όφιν, τη λαμπρά αθλήσει σου, καταβαλούσα Παρθένε, έδραμες, λαμπαδηφόρος τω σω νυμφίω, έστεψαι, της αφθαρσίας τη ευπρεπεία, και πρεσβεύεις Ακυλίνα, υπέρ των πίστει ανευφημούντων σε.

*Ο Οίκος.*

Αθληφόρου η μνήμη η πάνσεπτος, ως αστήρ σελασφόρος εκλάμψασα, τους πιστούς συγκαλείται, προς εόρτιον αίνεσιν. Συνέλθωμεν πάντες επί το αυτό, και κατοπτεύσωμεν τω νοΐ, παράδοξα πράγματα, ίδωμεν ουν Ακυλίνης της Μάρτυρος, την υπέρ πίστεως γενναίαν πάλην, και αήττητον ένστασιν, δι' ης την μεν του Χριστού δύναμιν, εν ασθενεία απαλού και ανάλκιδος σώματος, εξαστράπτουσαν έδειξε. Το δε υπερόφρυον θράσος του δυσμενούς, ως νηπίων άθυρμα κατεπάτησε. Ταύτα γαρ της του Χριστού πίστεως, τα εξαίσια έργα, και θαυμαστα έπαθλα, ων μετασχούσα η Μάρτυς, τυραννικής αλαζονείας το κράτος ήσχυνε. Και των μαστίγων το επίπονον ενεγκούσα, νομίμως ηγώνισαι, και τω Σωτήρι Χριστώ ως θύμα άμωμον προσενήνεκται. Ον

αεί δυσώπει Ακυλίνα, υπέρ των πίστει ανευφημούντων σε.

*Συναξάριον.*

Τη ΚΖ’ του αυτού μηνός, η Αγία Μάρτυς Ακυλίνα, ράβδοις συνθλασθείσα τελειούται.

Την φύσιν ούσα θήλυ η Ακυλίνα,
ανήρ εδείχθη γεννάδας προς βασάνους.
Εικάδι η δ’ εβδόμη ρέθε’ Ακυλίνης κατεθλάσθη

*Ωδή ζ’. Ουκ ελάτρευσαν*

Λήξιν άληκτον, και κληρουχίαν άφθαρτον, εκληρονόμησας Παρθενομάρτυς Χριστού, λιπούσα τα πρόσκαιρα, ενθέω έρωτι, και αθλήσασα, υπέρ Χριστού στερρότατα, Ακυλίνα μακαρία.

Ισχύν ένθεον, λαβούσα καλλιπάρθενε, εκ του Κυρίου σου, περιγένου στερρώς, πικρών μαστιγώσεων, εν τω σω σώματι, και ανίσχυρον την δύναμιν απέδειξας, της κακίας Ακυλίνα.

Νουν αλάστορα, κατηγωνίσω πάνσεμνε, εσχάτοις έτεσιν, εν ασθενεία σαρκός, αγώσιν αθλήσεως, και πάντας εύφρανας, εν τη νίκη σου, τη θαυμαστή πανεύφημε, κατά της παρανομίας.

*Θεοτοκίον.*

Ακατάφλεκτον, Σε βάτον προεώρακε, Μωσής ο ένθεος, εν τω Σιναίω ποτέ, το πυρ γαρ το άστεκτον, αφλέκτως έφερε, της Θεότητος, και απορρήτως τέτοκας, τον Δεσπότην των απάντων.

*Ωδή η’. Παίδας ευαγείς.*

Γη καθάπερ εύκαρπος και πίων, μητρός σου τας συμβουλάς δεχθείσα πάνσεμνε, της σεπτής αθλήσεως, τον πολύχουν άσταχυν, πλουσίως εγεώργησας Μάρτυς κραυγάζουσα· Τον Κύριον υμνείτε τα έργα, και υπερυψούτε, εις πάντας τους αιώνας.

Έπνευσεν ως άλλη μυροθήκη, οσμήν της αθανασίας την ουράνιον, το παρθενικώτατον, σώμα σου πανεύφημε, χαριτωθέν τοις σκάμμασι της σης αθλήσεως, και ήλασε παθών το δυσώδες, Μάρτυς Ακυλίνα, αρρήτω ενεργεία.

Ρήμασιν ενθέοις η φιλόπαις, και πάνσεπτος Ακυλίνα όντως μήτηρ σου, προς τους της αθλήσεως, πόνους σε αλείψασα, πεποικιλμένην Μάρτυρα σε υπεδέξατο, βοώσα εν φαιδρώ τω προσώπω, Σε υπερυψούμεν, ω αθλοθέτα Σώτερ.

*Θεοτοκίον.*

Αγγέλων ευπρέπεια και δόξα, παρθένων και αθλοφόρων αγαλλίαμα, νεανίδων στήριγμα, θεολήπτων πέφηνας, και των Μαρτύρων στέφανος ο αμαράντινος, απάντων δε Παρθένε προστάτις, των υπερυψούντων, την Σην μεγαλωσύνην.

*Ωδή θ’. Άπας γηγενής.*

Σου την καθαράν, ψυχήν και ακήρατον, Μαρτύρων όμιλος, και παρθένων τάγματα, ώσπερ προσθήκην Μάρτυς εδέξαντο, το άγιον δε σώμα σου, ως ναός

ζώντος Θεού, ευωδίαν, Ακυλίνα έπνευσεν, εις ημών αληθή αγαλλίασιν.

Ίνα ο Χριστός, δηλώση ην έσχηκας, Μάρτυς λαμπρότητα, φως επί του τάφου σου, καθάπερ άστρον πέμπει πολύφωτον, δι’ ου χαράς επλήσθησαν πιστών οι σύλλογοι, Ακυλίνα, και εχθρών το σύστημα, κατησχύνθη εις τέλος και πέπτωκε.

Μάρτυς ευκλεής, και νύμφη περίδοξος, ώφθης του Κτίσαντος, εν υστέροις έτεσι, καλώς αθλήσασα καλλιπάρθενε, αλλά ταις προστασίαις σου σκέπε και φύλαττε, Ακυλίνα, ταύτην την πατρίδα σου, την τιμώσαν λαμπρώς την σην άθλησιν.

Όρμω γαληνώ, εκ ζάλης προσώρμησας, της ματαιότητος, και του ζώντος ύδατος, επαπολαύεις Μάρτυς Ακυλίνα, και ως δώρον πρόσδεξαι, τον παρόντα μου ύμνον ευπρόσδεκτον.

*Θεοτοκίον.*

Ύψιστον Θεόν, αφράστως κυήσασα, τον ανυψώσαντα, του Αδάμ την έκπτωσιν, δι’ ευσπλαγχνίας ανεκδιήγητον, τον νουν μου Κόρη ύψωσον προς την ακρώρειαν, της αγάπης, του Υιού Σου δέομαι, και παθών της κακίας με λύτρωσαι.

*Εξαποστειλάριον. Τοις Μαθηταίς συνέλθωμεν.*

Δυναμωθείσα χάριτι, του Χριστού και αγάπη, αθλητικώς ηγώνισαι, Ακυλίνα θεόφρον, και τας βουλάς των ανόμων, ψυχική ευσθενεία, εις τέλος καταβέβληκας, των μαστίγων την πείραν καρτερικώς,

τω σεπτώ σου σώματι ενεγκούσα, όθεν των υπέρ έννοιαν, ηξιώθης βραβείων.

*Θεοτοκίον.*

Το του Πατρός απαύγασμα, και συνάναρχος Λόγος, ο τω Πατρί και Πνεύματι, συναΐδιος πέλων, εν τη γαστρί Σου σκηνώσας, μη εκστάς της οικείας, ουσίας σαρξ εγένετο, απορρήτως Παρθένε και εαυτού, Σε μητέρα έδειξε πανουργίαν, και ανωτέραν πάναγνε, πάντων των ποιημάτων.

*Αίνοι. Ήχος α'. Των ουρανίων ταγμάτων.*

Την Νεομάρτυρα πάντες και καλλιπάρθενον, το της Μακεδονίας, ευωδέστατον άνθος, την θείαν Ακυλίναν των ευσεβών, αι χορείαι τιμήσωμεν, υπέρ Χριστού γαρ αθλήσασα ανδρικώς, την απάτην εθριάμβευσε.

Της μητρικής ευσεβείας αντεχομένη στερρώς, την πατρικήν μανίαν, απεκρούσω Αγία, και ήνεγκας μαστίγων επιφοράν, και τον βίαιον θάνατον, όθεν Μαρτύρων της δόξης περιφανώς, Ακυλίνα κατηξίωσαι.

Ως μυστική μυροθήκη το θείον σώμα σου, την θείαν ευωδίαν, Ακυλίνα θεόφρον, διέπνευσε τοις πάσιν υπερφυώς, και φως θείον επέλαμψεν, επί του τάφου σου άπασι μαρτυρούν, των αγώνων σου τα έπαθλα.

Το Ζαγκλιβέριον χαίρει επί τη μνήμη σου, η ση πατρίς Αγία, και λαμπρώς εορτάζει, προστάτιν γαρ σε έσχε και αρωγόν, Ακυλίνα θεόνυμφε, ο από πάσης ανάγκης και συμφοράς, τη πρεσβεία σου απάλλαττε.

*Δόξα. Ήχος πλ. α'.*

Παρθενομάρτυς ενδοξε, Ακυλίνα θεόφρον, τις επαξίως υμνήσει σου την άθλησιν; Ουδέν γαρ προέκρινας, της του Χριστού αγάπης, ου νεότητος άνθος, ουχ ηλικίας ακμήν, αλλ' απλότητι ψυχής, και θεολήπτω γνώμη, τον υπέρ Αυτού αναδέξω θάνατον. Και ταις ποιναίς εγκαρτερήσασα, προς την άπονον ζωήν μεταβέβηκας, μαρτυρικών αξιωθείσα βραβείων, αλλ' ως έχουσα παρρησίαν, τω σω Νυμφίω πρέσβευε, υπέρ των τιμώντων σε.

*Και νυν. Θεοτοκίον.*

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, και δοξάζομέν σε οι πιστοί κατά χρέος, την πόλιν την άσειστον, το τείχος, το άρρηκτον, την αρραγή προστασίαν, και καταφυγήν των ψυχών ημών.

*Δοξολογία Μεγάλη και Απόλυσις.*

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

*Τα τυπικά, οι μακαρισμοί, και εκ του κανόνος της Αγίας, η γ' και στ' ωδή.*

*Απόστολον ζήτει τη Πέμπτη της ΚΕ' εβδομάδος.*

*Ευαγγέλιον τη Τετάρτη της Γ' εβδομάδος Ματθαίου.*

*Κοινωνικόν: Εις μνημόσυνον αιώνιον έσται δίκαιος. Αλληλούϊα.*

*Μεγαλυνάριον.*

Χαίροις καλλιπάρθενε του Χριστού, Μάρτυς Ακυλίνα, η αθλήσασα ανδρικώς, του Ζαγκλιβερίου, η δόξα και το κλέος, ω αίτει ευπραγίαν και θείον έλεος.

